6)

PHILODEMI DE RHETORICA

LIBER QUARTUS.

EX


VOLUMINIBUS HERCULANENSIBUS

OXONII MDCCCXXV EXCUSIS

EDIDIT

LEONARDUS SPENGEL,

Gymnasii Monacensis professor.



Academicis Herculanensibus

Musei Burbonici

S. P. D.

Leonardus Spengel Monacensis.

VOBIS, Viri Clarissimi et Doctissimi, hunc Philodemi librum de arte Rhetorica ex Herculani cineribus erutum et luci redditum, misimus; par enim est omnem omnes laudem tribuere VOBIS, qui de veterum ibi latentium scriptorum reliquiis illustrandis optime merentes maxima cum cura atque religione fragmenta descripta traditis, quod quanti sit faciendum, et nos in hoc volumine tractando cognovimus; nam cum quartus Philodemi liber non a VOBIS in Voll. Hercul., sed ab Anglis ex apographis plumbeo stilo delineatis editus esset, eum tam foedis mendis et erroribus scatentem invenimus, ut ab homine graecae linguae ignaro negligentissime litteras exaratas esse constaret; quo factum, ut fortunam adversam conquerentes quod non pauci veteris librarii errores corrigendi, sed innumerabilia recentis delineatoris commenta ad linguae graecae indolem essent redigenda, plura audacius emendaremus, multa felicioribus et ingeniosioribus relinqueremus; liceat tamen iure nostro philosophi verbis in hac minoris mo-

menti re nobis uti τοῖς *μὲν παραλελειμμένοις συγγνώμην*, τοῖς *δὲ εὑρημένοις πολλὴν χάριν ἔχειν;* corruptissima enim haec esse litteris aut male additis, ut XVI, 25 *ΦΑΛΡΗΡΕΙ Φαληρεῖ*, aut demptis, ut XXXVII, 25 *ΑΛΛΑΗΜΩΙ ἀλλὰ δήμῳ*, aut quod saepissime fit, commutatis, nemo negabit. Tamen hic liber multis columnis integris servatis, quae nexum et argumentum aperte ostenderent totamque viam et rationem disputandi qua usus Philodemus in opere contexendo, declararent, prae ceteris nobis dignus visus est qui, ut omnes perspicerent, emendaretur. Id si nos ausi sumus, non modo ut doctis nostrae nationis hominibus eorum quae in his voluminibus Herculanensibus nimium neglectis essent, specimen exhiberemus, sed ut VOS veri et aequi nostri laboris iudices fieretis, aggressi sumus. Quos enim certiores et meliores malimus quam VOS, penes quos exemplum conditum est, quo nos, aut verum vidisse aut halucinatos esse certissime convincatis? itaque VOS, Viri Clarissimi et Doctissimi, oramus atque rogamus, ut hunc quoque librum VESTRA diligentia dignum censeatis et, utrum autor adiuvari possit, an de multis laceris et nobis non perspectis locis sit desperandum ex ipso papyro eruditos doceatis.

COL. VII.

. . τὸν Φοίνεικα διδάσκαλον Ἀχιλλεῖ συναπεστάλθαι φησὶν Ὅμηρος, οὐδὲ τὴν φύσει καὶ περὶ λόγον ἀρετὴν κατ' ἐξοχὴν ἰδίως ἂν [προςαγορευθήσεσθαι ῥητορικήν·

εἰ δέ τις βούλεται καὶ προςηγορεῦσθαι, διαρρήδην γὰρ εἴρηκεν πρὸ τῶν ῥητορικῶν διατριβῶν μὴ πλὴν μελημάτων τούτων. οὐδ' οὕτως μὲν οὖν εἶπεν, ἀλλ' ἁπλῶς ἰσχύειν τὰς ῥητορικὰς διατριβάς, [ἔτι] δὲ μηδὲ Περικλέα Στεφάνου Θουκυδίδην, μηδὲ τὸν Ὀλόρου τήν γε πρόχειρον ἐκπεφευγέναι καχεξίαν τῆς ἑρμηνείας, ἀλλὰ μηδ' ἐπιτεθεωρηκέναι· τάχα γὰρ ἐπὶ τούτων κατῆρχθαί τις ἐρεῖ τὰς διατριβάς, ἰσχυκέναι δὲ οὔ, εἰ μή τις λέγοι ἀναισχυντῶν καὶ

COL. VIII.

ται διαφέρουσιν οὐδὲν καὶ μετὰ τὴν ἰσχὺν τῶν διατριβῶν ἀνιστόρητοι γεγονότες ἁπάσης τῶν πρὸ τοῦ παρελθεῖν αὐτὰ καὶ κατισχῦσαι διαλεχθέντων, ἀλλ' οὐθὲν ἧττον ὁρῶνται φανερῶς οἱ μὲν οὐχ ἧττον ἀγνεύοντες ἐν λέξει τῶν ἄκρως διατριβικῶν, οἱ δὲ μᾶλλον, ἀναρίθμητοι δὲ τῆς οὕτω προχείρου καχεξίας. ὀκνῶ [γὰρ] εἰπεῖν ὅτι τὸν τρόπον τοῦτον ὃν διὰ τῶν παραδειγμάτων οὗτος ὑπέδειξεν, ὁ σκαπανεὺς καὶ μαζῶν μόνος λαλεῖ, δοκῶ δὲ μηδ' ἀγυμνάστων μόνον ἐν λόγοις ταύτας εἶναι τὰς καχεξίας, ἀλλὰ καὶ τὸν κοινὸν λεγόμενον νοῦν οὐ προςφερομένων, ὥστε κινδυνεύειν ἡμᾶς κατὰ τὸν λόγον καὶ τοῦτο περιποιεῖσθαι παρὰ τῆς ἰσχύος τῶν ῥη-

COL. IX.

τορικῶν διατριβῶν. διὸ μηκέτε θαυμάζωμεν τὸ μόνας τάξασθαι τὸ πεπαιδευμένως διαλέγεσθαί τισιν ἢ ἀπαιδεύτως ὃ καὶ αὐτὸ θεῖναι τετόλμηκεν ὥσπερ τῶν διατριβῶν πάσας τὰς παιδείας διδασκουσῶν ἢ τῶν γραμματικῶν καὶ μουσικῶν καὶ γεωμετρικῶν, τί γὰρ δεῖ φιλοσόφων εἰπεῖν; τὰ κατὰ τὰς ἰδίας μαθήσεις οὐ πεπαιδευμένως λαλούντων, ἢ μυρίων ἐνγεγηρακότων ταῖς διατριβαῖς οὐκ ἀπείρως παιδείας ἁπάσης διαλεγομένων· εἰ γὰρ αὖ τὸ ῥητορικῶς λαλεῖν μόνον ἐκάλει πεπαιδευμένως, ὁλόχρυσος ἦν. ἀμέλει δὲ καὶ φαίνεται τοιοῦτος ὥστε καὶ μάλιστα τῶν λοιπῶν ὀρθοεπεῖν φησὶ τούτους καὶ πᾶσαν εἰκαιότητα διαφεύγειν, κἂν προπέσω-

COL. X.

σιν ἔν τισιν, τάχιστα διορθοῦσθαι συνειθισμένους παρεσκευάσθαι καὶ περὶ παντὸς ἐπεσκεμμένους λέγειν καὶ παρὰ τῶν εἰδότων πεπυσμένους, ὥστε τῆς Ἑλλάδος οὕτως ἠνθηκυίας τότε πεπαιδευμένοις καὶ μαθηταῖς ἅπαντας ἁπλῶς κτᾶσθαι τῶν σοφιστῶν ὀρθοέπειαν, τὸ δ᾽ εἰκῇ λέγειν μηδ᾽ ὅλως τινὰ περιφορεῖν αὐτῶν· ἀλλὰ μόνους τοὺς διατριβικοὺς ὧν εἰκαιολογωτέρους ἑτέρους οὐκ ἂν τις ἐπιδείξειε, καὶ πάντων πολλάκις προπειπτόντων μόνους ἐν ὀλίγοις, εἴπερ ἄρα καὶ τούτους ἐν τοῖς πρακτοῖς καὶ τοῖς γεγραμμένοις ἀστοχάστους θεωροῦμεν; καὶ μόνους ἃ ποιεῖν ἔφησεν εἰθίσθαι, τοὺς ὑπὲρ ὧν ἡμεῖς εἴπαμεν οὐδενὸς οὐδέποτ᾽ ἐπεσκεμμέ-

COL. XI.

νους, τοὺς δὲ φιλοσόφους οὓς ἅπαντες προειλήφασιν ἀσφαλιστάτους καὶ σκεπτικωτάτους, τούτων τε ἀμελεῖν καὶ μηδὲ παρὰ τῶν εἰδότων οἵους τ' εἶναι πυνθάνεσθαι· τὸ γὰρ αὖ περὶ τῶν πολιτικῶν πραγμάτων ταῦτα λέγειν αὐτὸν ὑπολαμβάνειν πάλιν οὐκ ἐπιτρέπει τά θ' ὑποδείγματα [καὶ τὰς] ἐν τῇ λέξει καχεξίας παρατιθεὶς καὶ προσαγορεύων τὴν διαφεύξειν αὐτῶν ὀρθοέπειαν. οὐ μὴν ἀλλὰ τοὺς ῥήτορας εἰ κατορθοῖεν ἐν τοῖς ῥητορικοῖς ἔλεγεν ἢ πρὸς τὸν διαλεκτικὸν ἔλεγεν, οὐ τὸν ἔλεγχον ποιοῦμεν, εἰ δ' ἔφη προσδεήσεσθαι τῆς ῥητορικῆς η προς τοὺς ἄλλους πεπαιδευμένους, μᾶλλον δὲ καὶ τεχνείτας ἀθρόως

.

.

COL. XII.

νους ις καὶ Φίλωνα τὸν ἀρχιτέκτονα περὶ τῆς σκευοθήκης οὗτος αὐτὸς εἰςήγαγεν δημηγοροῦντα · σὺν δὲ τοῖς θεοῖς οἵ γε τὰς διατριβὰς τῶν ῥητορικῶν ἰσχυροποιήσαντες ἐκ γε τῶν διατριβῶν οὔτ οὔτε συνειθίσθησαν περὶ παντὸς ἐπεσκέφθαι καὶ διὰ τοῦτο μὴ προπείπτειν ἢ διορθοῦσθαι τάχιστα τοιγαροῦν μερῶν τινὲς μὲν τῆς τέχνης Ἀθηναῖο[ι τὰ τ]οῦ λόγου τῆς ὑποκρίσ[εως] ὅτι μὲν ταῦτά τις ἔχων καὶ σεμνότερος αὐτὸς φαίνεται καὶ προςέχειν μᾶλλον ποιεῖ τὸν ἀκούοντα καὶ συνιέναι καὶ μνημονεύειν καὶ κεινεῖσθαι παθητικῶς, ἄλλων [οὐχ ὁμ]οίως ταῦτα δρώντων ὁμολογουμένως, ἄλλοι δ'οὐ τῇ ῥη-

COL. XIII.

τορικῆ τοῦτο πρ[οςήκ]ειν ἀσ-
κεῖν μᾶλλον ἢ τῆ διαλεκτι-
κῆι καὶ τῆ γραμματικῆ, μα-
θεῖν ἂν τις ἐπιθυμῆ λέγειν.
καὶ δὴ γὰρ ἡ μὲν ὑπόκρισις
.
.
μη καὶ νὴ Δί' εἰ μὲν καὶ
τὴν ἐν τραγῳδία καὶ κωμῳ-
δία καὶ μείμοις καὶ τοῖς ἀνα-
λόγοις ὑπόκρισιν ὑποτιθέ-
ασιν τῆ ῥητορικῆ, μακαρί-
ζομεν αὐτοὺς τῆς συνέσε-
ως· εἰ δὲ τοὺς κοινὰ διατι-
θεμένους ἀπροςδεήτους
εἶναι τῆς ἀφ' αὐτῶν διδασ-
καλίας νομίζουσιν, ἐπιζη-
τοῦμεν, τί δήποτε κατε-
γνωκότες ἡμεῖν τὴν ἐν
τοῖς ἡμετέροις δέουσαν
ὑπόκρισιν οὐκ ἀπονέμου-
σιν, ἔτι δὲ μᾶλλον, ἐκ τίνος
ἀντιποιοῦνται τῆς κοινῆς
ὑποκρίσεως τῶν
προφερομένων
ἐπιστημ ἑκάστου

COL. XIV.

κὰν ἀπαίδευτος
κομενα διὰ τῆς ὑποκρίσεως
προσηκόντως τοῖς πρά-
γμασιν διατιθεμένου .
.
ἐν ἀρχῇ
.
ἐν τοῖς ῥητορικοῖς ὑπο-
κρίσεως ἀντιποιοῦνται
μαχομεν
. τὴν δύνα-
μιν τις καὶ τῆς φι-
λοσοφίας βελτείω καὶ κα-
τὰ τοῦτ' ἐμφανίζειν · τὸ
δ' ἐν τοῖς ἰδίοις ἐξοχώτε-
ρον ὑποκρείνεσθαι ποιεῖν,
εἰ καὶ τοὺς ἄλλους ἐν τοῖς
αὑτῶν φασὶ, μόνον ἐσ-
τὶν ἐνδεχόμενον τὴν
ὑπὸ τοῦ θέλοντος ἀντι-
στροφήν, κἂν εἴπωσιν ὅ-
τι μόνοι τέχνας ὑπὲρ αὐ-
τῆς παρέδοσαν μα-
χήσουσι καὶ τῶν ποιητῶν
οὐχ ὅτι τῶν ἄλλων ὑπο-

COL. XV.

κρείνεσθαι διδασκόντων καὶ τῶν λογικῶν ἁπάντων κἂν μὴ συγγράφωσιν διὰ τὸ βαιὰς εἶναι τὰς θεματικὰς παρατηρήσεις ὑπὲρ τῆς μαθήσεως ὑπ   μ   ιφον   νιας δὲ πο   θαι

τὰς διαθέσεις   πολλὰ δὲ ἡ τῶν παθῶν αὐτῶν διαφορὰ σχηματίζει καὶ [τὸ σῶμ]α καὶ τὴν φωνὴν παραλλαττόντως ὅθε[ν καὶ] τοὺς ἰδιώτας καὶ τοὺς βαρβάρους, εἰ μὴ καὶ τἆλλα ζῶα, τοῖς πάθεσι ἀκολούθους τὰς μεταβολὰς ἔχοντας θεωροῦμεν· τινὰ δ' ὧν παραγγέλλουσιν οὗτοι, καὶ φυσικῆς εὐκληρίας δεῖται, καθάπερ εὐμέλεια φωνῆς καὶ μεγέθη καὶ τόνοι καὶ πνεῦμα καὶ προσώπου καὶ χειρῶν καὶ τοῦ λοιποῦ σώματος ἀξίωμά τε καὶ ῥυθμοὶ καὶ τόλμα καὶ τοιαῦτ' ἀλ-

COL. XVI.

λα, διὸ καὶ τὸν Ἰσοκράτην εἰκότως
φασὶ τῆς πολειτείας ἀποστῆ-
ναι· Νὴ Δί' ἀλλὰ Δημοσθένης
> καὶ πρῶτον ἔλεγε καὶ δεύ-
τερον καὶ τρίτον εἶναι τὴν
ὑπόκρισιν ἐν τῇ ῥητορικῆι·
Καλλιππίδης δὲ καὶ Νει-
κόστρατος, ἐγὼ φήσω, τὸ
πᾶν ἐν τραγωδίαι, Λύκων
δ' ἐν κωμωδίαι καὶ διὰ τοῦ-
το τῆς κοινῆς ἁπάντων
α . ἔχειν ἐπιστήμην
. μέντοι
. ἔλεγεν ὅτι τὸ πα
συνεργοῦν καὶ μεθοδευό-
μενον ἐν τοῖς ἰδίοις ὑφ' ἑ-
κάστων πολὺ μεῖζον ἐν.
τῇ ῥητορικῇ δρᾷ μᾶλλον
ἢ ταῖς ἄλλαις πεζολογίαις.
Οὐ μὴν ἀλλὰ καὶ τούτω κ
. ἐν τοῖς δεινοτά-
τοις ὄντι φωνὴν ὀξεῖαν
Αἰσχίνης ὀνειδίζει, ποτὲ
δὲ καὶ μακράν· παρὰ δὲ τῶι
Φαληρεῖ λέγεται ὑποποί-
κιλον μὲν αὐτὸν ὑποκρι-

COL. XVII.

τὴν γεγονέναι καὶ περιττὸν, οὐχ ἁπλοῦν δὲ οὐδὲ κατὰ τὸν γενναῖον τρόπον, ἀλλ' ἐς τὸ μαλακώτερον καὶ ταπεινότερον ἀποκλείνοντα. οἱ δ' οὖν πολλοὶ τῶν σοφιστῶν ἐοίκασιν ἐξ ὧν γεγράφασιν, ἀθλίως ὑποκεκρίσθαι· πονηρὸν γὰρ εἰς ὑπόκρισιν αἱ μακραὶ περίοδοι, καθάπερ καὶ παρὰ Δημητρίωι κεῖται περὶ τῶν Ἰσοκράτους· Ἱερώνυμος δέ φησιν ἀναγνῶναι μὲν αὐτοῦ τοὺς λόγους καλῶς δυνήσεσθαί τινα, δημηγορῆσαι δὲ τήν τε φωνὴν καὶ τὸν τόνον ἐπαίροντα καὶ ἐν ταύτῃ τῆι κατασκευῆ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν οὐ παντελῶς·· τὸ γὰρ μέγιστον καὶ κεινητικώτατον παρεῖσθαι τῶν ὄχλων· ἄψυχον γὰρ αὐτοῦ καὶ ἄνευ παθημάτων εἶναι

COL. XVIII.

τὴν λέξιν καὶ οἱονεὶ πρὸς ἕνα τόνον πεποιημένην, τὸ δὲ κεκλασμένον καὶ παντοδαπὸν καὶ ἐπιτάσει τε καὶ ἀνίσει καὶ ταῖς παθητικαῖς ὑπερθέσεσιν διειλημμένον ἀποβεβληκέναι, τῇ δὲ λειότητι διὰ παντὸς δουλεύειν. τοιγαροῦν εὖ ἀναγνωστὸν μὲν εἶναι τῆς φωνῆς ὑφειμένης, ἐπαρθείσης δὲ   ταῖς περιόδοις κα   οῦσαν τὸν λέγοντα καὶ τὴν ὑπόκρισιν ἀφαιρουμένου καὶ σχεδὸν ἐναντίαν τῇ τῶν πολειτικῶν· τὸν δὲ πολειτευόμενον ἐπὶ τὰ ποιοῦντα πολιτικὴν δεῖν καὶ δημηγορικὴν κατακεχύσθαι λέξιν καὶ μὴ τὴν ἐπιδίφριον καὶ καταψιθυρίζουσαν τὸν λόγον, ὅμοιον γοῦν εἶναι τῶι δασὺ καὶ μέγα περιθέμενον πρόσωπον παιδίου φωνὴν ἀφιέναι καὶ τὸ τοῖς Ἑλ-

COL. XIX.

λησιν συμβουλεύοντα καὶ πλάσμα καὶ τὴν ἄλλην κατασκευὴν δημηγόρου περιβαλλόμενον ἐπ' ἀναγνώστου παιδὸς φωνὴν ἀποδιδρακέναι μήτε τόνον μήτε πάθος μήθ' ὑπόκρισιν δυναμένου φέρειν. τοὺς δὲ νῦν οὐ ταὐτὸ μόνον ὁρῶμεν ἔχοντας, ἀλλὰ καὶ τῶν ἐκείνου προτίμων ἐψιλωμένως τὰ πολλὰ ῥύθμην καὶ τόνῳ κεκλιμένῳ ἢ καὶ διωργισμένως ἐκφέροντας, ὅταν δ' ἦθος ἐμφαίνειν θέλωσι, χειλοφώνως καὶ πεπλασμένως λαρυγγίζοντας. Ἀλλὰ δὴ τὰ μὲν περὶ τῆς ὑποκρίσεως παραγγέλματα πρώην τισὶν ἐφλυαρήθη, θαυμαστῶς δὲ καὶ τῶν ἡρώων καὶ τῶν μετ' αὐτοὺς ὑπεκρείνοντο πολλοί, καθάπερ ἐστὶν λαβεῖν τὰ μὲν παρὰ ποιητῶν,

COL. XX.

τὰ δὲ καὶ παρ' ἱστορικῶν κάξ ὧν αὐτοὶ γραπτῶν καταλελοίπασιν, οἱ δὲ τεχνογράφοι καὶ φανερὸν καθιστᾶσιν τὸ κατ' ἀλήθειαν μὲν ὑπάρχον, ἐπικρυπτόμενον δ' ὑπὸ τῶν πολειτικῶν, ὅτι τοῦ φανῆναι σεμνοὶ καὶ καλοὶ κἀγαθοὶ, μάλιστα δὲ τοῦ πλανῆσαι τοὺς ἀκούοντας, ἔτι δὲ τοῦ δεινῶσαι μεθοδεύουσι τὰς ὑποκρίσεις, ὧν οὐδενὸς ὁ τῶν ἄλλων τεχνείτης, οὐχ ὅτι τῶν κατὰ φιλοσοφίαν προσδεῖται· διὸ καὶ τῶν πρός τι τὴν ἐπιτετευγμένην ὑπόκρισιν εἶναί τις λέγων οὐκ ἂν διαμαρτάνοι· ῥήτορι μὲν γὰρ ἡ τοιαύτη, τάχα δὲ καὶ τῶι πολειτικῶι καὶ τῶι σοφιστῆ διαφόρος πρα——— προςήκει, φιλοσόφωι δ' ἑτέρα, τοῖς δ' ἀπ' ἄλλων μαθημάτων ἄλλη καὶ νέω

COL. XXI.

καὶ γέροντι παραλλάττουσα καὶ γυναικὶ δηλονότι, μᾶλλον δὲ καὶ κατὰ τόπους ἑτεροῖα πρέπει· παρ' ἄλλοις γὰρ ἄλλη διαχωρεῖ καὶ καταγελᾶται· προςειλήφθω δ' ὅτι καὶ τὰ πλείω τῶν παραγγελμάτων παιδαγωγοῖς ἔοικεν, οἱ δὲ τὴν τέχνην καὶ διὰ τούτων ὑπολαμβάνουσι μεγαλύνειν· Ἀλλὰ μὴν οἱ μὲν τῶν σοφιστῶν τὰς κοινὰς φρένας ἔχοντες οὐ περὶ τῶν ἐν παντὶ προβλήματι προοιμίων καὶ διηγήσεων καὶ πίστεων καὶ ὑπεξαιρέσεων καὶ ἐπιλόγων ἑαυτοῖς οἴονται προςήκειν, ἀλλὰ τῶν ἐν τῶι πολειτικῶι, τὸ δὲ τῶν παχυτέρων πλῆθος οἷς μόνοις ταῦτ' ἐκπονεῖται λέγει, διείληφε δὲ οὔτ' εἰ μόνα τὰ πολειτικὰ διὰ τούτων φησὶν προβαίνειν τῶν μερῶν, οὔτ' εἰ

COL. XXII.

πάντα μὲν, μόνοι δ' αὐτοὶ τὰς εἰς πάντ' ἐναρμοττούσας μεθόδους ὑπογράφουσιν, οὔτ' εἰ μόνοι περὶ τῶν ἰδίων ἢ μάλιστα πάντων παρέδοσαν, οἱ δ' ἄλλοι παραλελοίπασιν ἢ βραχέως ἐφεστήκασι ταῖς ἰδίως τοῖς ἑαυτῶν ἐμπρέψαι δυναμέναις ὧν τὸ μὲν πρῶτον ἄθλιόν ἐστιν ὅτι σχεδὸν πᾶν σκέμμα διὰ τούτων, ἀλλ' οὐ τὸ πολειτικὸν μόνον διοικεῖται · τὸ δὲ δεύτερον ὅτι περὶ τῶν κατὰ φιλοσοφίαν καὶ γραμματικὴν καὶ μουσικὴν καὶ γεωμετρίαν καὶ τἆλλα τοῖς ὅλοις οὐδὲν οἱ τεχνολόγοι παραδεδώκασιν, οὐδ' ἔστιν κοινά τινά τά γε συνέχοντα πάντων παραγγέλματα, οὐδ' εἴπερ ἦν, μᾶλλον αὐτοῖς συνεκεχώρητο ἢ διέγνωστο τῶν ἄλλων, ἀλλ' εἰ τὸ κατὰ λόγον ἐξε-

COL. XXIII.

τάξειν βούλοιτό τις, τοῖς φι-
λοσόφοις· τὸ δὲ τρίτον
> ὅτι καὶ τοῖς ἄλλοις μὲν ὑ-
πὲρ τῶν οἰκείων, ἀλλὰ
δὴ μάλιστα τοῖς φιλοσό-
φοις
θαι κατ' ἀποδεικνύ-
ειν
εν
ἐκτετεχνολόγηται, διη-
γήσεσιν δ' ἴσως καὶ τοῖς
ἐπιλεγομένοις οὐ δαψι-
λῶς χρῶνται, πλὴν οὐ-
δὲ περὶ τούτων ἀμελίσ-
τερον ἐκείνων ἀνεστρά-
φησαν. Τῆς δ' αὐτῆς ἀ-
διαληψίας ἔχεται καὶ τοῦ-
το λεγόμενον ὑπό τινων,
ὅτι μόνης ἢ μάλιστα
τῆς ῥητορικῆς ἐστὶν τὸ
τοὺς ἐνδεχομένους
εἰς ἕκαστον λόγους ἐξ-
ευρίσκειν, διὸ καὶ τέλος
αὐτῆς τοῦτ' εἶναί τινες
ἔφησαν· πρῶτον μὲν
> γὰρ οὐθὲν διαφέρει τοῦ-
το τῆς εὑρέσεως, μᾶλ-

COL. XXIV.

λον δ' οὐδὲ τὸ περὶ τῶν πέντε τοῦ λόγου μερῶν τῆς εὑρέσεως· εὑρέσεις γάρ εἰσιν αἱ καθ' ἕκαστον ἐπιτεύξεις, οἱ δ' ὡς

.

.

.

.

— δεύτερον δὲ εἰ μὲν καὶ πρὸς ἕκαστον τῶν ἐν ἰατρικῇ καὶ μουσικῆι καὶ γεωμετρία καὶ τῶν ἄλλων τοὺς ἐνδεχομένους εὑρίσκειν λόγους φασὶ τὴν ῥητορικὴν, τὰ πάντ' αὐτὴν εἶναι νομίζουσι καὶ δῆλον ὅτι φαίνονται κατὰ τὴν ἐπαγγελίαν πρὸς πάντ' εὐποροῦντες· οὐδὲ γὰρ ὡς ἤδη πολλάκις εἴπαμεν, αὐτοῖς προσήκει τὰς κοινὰς περὶ πάντων μεθόδους παρεγγυᾶν μᾶλλον ἢ τισιν τῶν ἄλλων, οὐδ' εἰσι μὲν κοιναὶ περὶ πάν-

COL. XXV.

των, ἀλλ' ἴδιαι καθ' ἑκάστην ἐπιστήμην αἵγε συνέχουσαι καὶ πάρεστιν ἐν ἑτοίμωι λέγειν ἧς ἂν ἐπι αινωσι τοῖς ἀπ' αὐτῆς τεχνείταις ἐπησθῆσθαι τῆς εὑρέσεως τῶν ἐν τοῖς ῥητορικοῖς ἐνδεχομένων λόγων. ἄλλως δὲ οὐδὲ τῶν φιλοσόφων τοὺς κατ' ἄλλην φιλοσοφίαν πρὸς ἕκαστον ἐνδεχομένους λόγους εὑρίσκειν δυναμένων, ἀθλιότης βαθεῖα τοὺς ἐν ἑτερογένει τέχνῃ προςποιεῖσθαι, καὶ τὸ πέρας οὐδὲ ἐφήρμοσταί τι τοῖς ἄλλοις ἐν ταῖς τεχνολογίαις αὐτῶν ἀλλὰ τοῖς πολειτικοῖς μόνον προβλήμασιν· ἃ γὰρ αὖ περὶ τῶν θετικῶν λέγουσιν, ἡδονῆς μὲν γέμει πολλῆς, οὐκ εὔκαιρα δ' ἐστὶν νῦν ἐξετάζεσθαι, τὸ δὲ τοσοῦτο καὶ νῦν εἰπεῖν ἀπό-

COL. XXVI.

χρη διότι κατὰ τέχνην καὶ μάθησιν ἑκάστην ἔστί τινα καὶ περὶ ἀορίστων καὶ περὶ ὡρισμένων ὑπὲρ ὧν ἑκατέρου τοὺς ἐνδεχομένους ἐξευρεῖν λόγους μόνων ἐστὶ τῶν καθ᾽ ἑκάστην ἐπιστημόνων ὥστε καὶ ῥητόρων τὰ κατὰ τὴν ῥητορικὴν ὡρισμένα καὶ ἀόριστα· τὸ δὲ τῶν ἄλλων τινὸς ἀντιποιεῖσθαι μαργειτομανίας ὅρους ἵστησι. ἐξέστω τοιγαροῦν καὶ τελος ἀποφαίνεσθαι τῆς ῥητορικῆς, εἰ καὶ καταγέλαστον, τὸ τοὺς ἐνδεχομένους εἰς ἕκαστον πρόβλημα ῥητορικὸν ἐξευρίσκειν καὶ λέγειν, τὸ δὲ πρὸς ἕκαστον ἁπλῶς δεσμῶν ἔχει χρείαν, ἐκ περιουσίας δὲ λέγωμεν ἡμεῖς τὸ μηθὲν ἀγαθὸν ὑπάρχειν,

COL. XXVII.

εἴπερ ἐστὶ δυνατόν, εὑρεῖν λέγειν δύνασθαι κἂν ᾖ τὸ φαυλότατον, ἀλλὰ μὴ μόνον τὸ χρήσιμον, εἰ καὶ τὸ τὴν διάθεσιν ἔχειν ἐπί τινων ἀφ᾽ ἧς εὑρεθήσεται, τειμιώτατον. εἰ

δὲ περὶ τῶν κατὰ τὰς κοινὰς αἰσθήσεις ἐπιβλεπομένων, κἂν ὑπὸ παιδὸς ἐλενχθείης ἂν τὸ δὴ λεγόμενον· χωρὶς γὰρ τοῦ φιλοσοφίας ἀντιποιήσασθαι δῆλον εἷς ὁ τοὺς ἐνόντας οὕτως εὑρίσκων λόγους ὀφείλει καὶ τοὺς ἀναγκαίους εἰδέναι, καὶ τοὺς ἐνδεχομένους μέν, οὐ μὴν ἀναγκαίους· ἔνεισι γὰρ ἑκάτεροι, τὸ δὲ τί δι᾽ ἀναγκαίων καὶ τί δι᾽ ἐνδεχομένων περαίνεται πολλοῦ δεδεήκασι γεινώσκειν, εἰ καὶ κτυποῦσι ἐν τοῖς συμβουλευτικοῖς τόποις τὰς ὀνο-

COL. XXVIII.

μασίας, ἔτι δὲ πρότερον τί δυνατόν ἐστιν γενέσθαι καὶ τί τοῖς ὅλοις ἀδύνατον ἐπίστασθαι προσῆκον, ὅπως ἂν τὸ μὲν εἰς τὸν λόγον παραλάβωσι, τὸ δ' ὑπερβῶσι, μανία δὲ πολλὴ τὸ περιάπτειν αὐτοῖς τὰ διὰ μέσης θεωρούμενα φυσιολογίας. καὶ μᾶλλον δὲ κοινότερον ἔτι τοὺς ἀληθεῖς ἐνεῖναι συμβέβηκεν, οὐχὶ τοὺς ψευδεῖς [καὶ μ]αταίους, ἀνάγκη κρίσιν αὐτοὺς ἔχειν τἀληθοῦς τε καὶ ψευδοῦς, οὐ πολὺ μᾶλλον ἢ γ' ἑτέρων ἐνδέουσιν, ἐπεὶ καὶ τὸ περὶ τοῦ δίκαιον εἶναι τόδε τι καὶ σώφρον καὶ γενναῖον καὶ μεγαλόψυχον καὶ φιλικὸν καὶ πρὸς θεοὺς εὐσεβὲς καὶ πρὸς εὐεργέτας εὐχέριστον καὶ τὸ προσῆκον ἁπλῶς ἁπάσαις ταῖς ἀρεταῖς ἐξευρίσκειν

COL. XXIX.

φάναι τοὺς ὡς ὄνος λύρας τῶν φύσει καὶ κατ' ἀλήθειαν ἀρετῶν ἐπησθημένους εὐήθια νομίζειν. εἰ δ' ἐροῦσι τὰ φαινόμενα τοῖς πολλοῖς τοιαῦτ' εἶναι καὶ ἀληθῆ καὶ δυνατὰ καὶ ἀναγκαῖα μόνον ἐξευρίσκειν καὶ τὰ πιθανότητ' ἔχοντα χωρὶς τοῦ · μηδὲν ἕτερον λέγειν ἢ τὸ τοὺς ἐνόντας πολειτικοὺς λόγους ἐξευρίσκειν τὸν πολειτικόν, οὐδ' ἕστηκεν τὰ φαινόμενα τοῖς πολλοῖς ὥστε κεινοῦνται πολλάκις ὃ καὶ συμβαῖνον θεωροῦμεν· τοὺς δὲ πιθανοὺς εἰ μὲν πάλιν τοὺς τοῖς πολλοῖς φανησομένους λαμβάνουσι, ταὐτὰ ῥητέον, εἰ δὲ τοὺς συνενγίζοντας τοῖς οὖσιν ἢ καὶ τοὺς προχείρως εἰς συνκατάθεσιν ἐπισπωμένους ὄντας, ὅτι, μὴ τῶν ὄντως τοιούτων ἐπιγινωςκομένων αὐτοῖς, οὐδέτερον

COL. XXX.

κατανοηθήσεται τῶν εὑρημένων. ἴσως δέ τις ἐρεῖ μηδ' ὅλως τὴν δύναμιν ἀφ' ἧς ἐστὶ τὰ πολειτικὰ πάντα καὶ τὰ σοφιστικὰ τῶν ῥητόρων ἐξευρίσκειν καὶ λέγειν ὀφείλας ἔχειν τι πρὸς τὴν μηθενὸς ἀνθρώπου μακαρίαν ζωήν· ἐγὼ δὲ καὶ λέγω τοὺς σοφιστὰς μηδὲ πολλοστὸν ἐξευρίσκειν τῶν ἐνδεχομένων ἐν τοῖς πολειτικοῖς, ὅσον ἐπὶ ταῖς τεχνολογίαις· πάλι δ' ἕτερος μὲν φήσει καὶ τοὺς μεγάλους σοφιστὰς ἐν τοῖς σοφιστικοῖς ἀδυνατεῖν ὃ καὶ τὰς ἐκδεδομένας ὑπ' ἄλλων ἂν τέχνας καὶ τὰ παραπλήσια διασαφεῖν· ἐγὼ δὲ τοὺς μὲν
>
ἀληθεῖς λόγους οὔτε τοὺς σοφιστὰς οὔτε τοὺς πολειτικοὺς ῥήτορας ἀνευρίσκειν ἅπαντας, ἀλλὰ καὶ τοὺς πλείονας ψευδεῖς οὔτε τοὺς τὸν ἀγαθὸν εἰς συνκατάθεσιν ἐπεσπασ-

COL. XXXI.

μένους πιθανοὺς, ἀλλὰ τοὺς
πλείους τὸν φαυλότατον καὶ
τὰ πλεῖστα λέγειν ἔξω τῶν
ἐνδεχομένων ὄντα, παρα-
λογιζόμενα δὲ τοὺς ἀκούον-
τας   προκείμενον
τις   ανευ
πάντας δὲ τοὺς ἐνόντας
ἐξεύροι τὶς [οὐκ ἄ]ν ἀπό τι-
νος ἐπιπτώσεως
ὅτι γε παρὰ τούτους
οὐδέν ἐστιν ἕτερον, εἰ-
πεῖν ἀδυνατήσειν, ἐπει-
δὴ φιλοσοφωτέρας ἐστὶ
καὶ βαθείας γε συνέσεως τὸ
τοιοῦτον. Ἀλλὰ ταῦτα
>
μὲν ἀξιωθήσεται τινος ἔτι
λόγου καὶ κατ' ἄλλα μέρη τῆς
διεξόδου, νῦν δὲ κἀκεῖ-
να διαληπτίον αὐτῶν.
ὅτι τῶν προβλημάτων
τὰ μέν ἐστιν δικανικὰ,
τὰ δὲ συνβουλευτικὰ, τὰ
δὲ περὶ τοὺς ἐπαίνους καὶ
ψόγους, ὧν τὰ μὲν συνέ-
χειν ἔφασαν τὰς πρὸς ἀλ-
λήλους ἐπιπλοκὰς, τὰ δ' ὑ-

COL. XXXII.

πογράφειν τὰ συμφίροντα πᾶσιν, τὰ δ' ἐπὶ τὰς ἀρετὰς προτρέπειν καὶ τῶν κακιῶν ἀπαλλάττειν. Περὶ μὲν οὖν τῶν δικανικῶν καὶ συμβουλευτικῶν εἰς ἄλλον καιρὸν ἐπιτηδειότερον ὑπερθησόμεθα· καὶ γὰρ ὑπ' αὐτῶν ἀδολεσχότερον ἐκεῖ παλιλλογεῖται, πλὴν τοσοῦτ' εἰπεῖν ὅτι τὸ δικανικὸν οὐ δήπου δικανικὸν λέγουσιν ἢ τοὐναντίον ἀκούσονται παρ' ἐνίων, ἀλλὰ δικαστηριακὸν, καὶ πάλι τὸ συμβουλευτικὸν οὐ τοῖς κατὰ μέρος ἀνθρώποις ὑπὲρ τῶν εἰς βίον μακάριον ἀνηκόντων, ἵνα μὴ φανερὰ ψεύδωνται καὶ φῆ τὶς αὐτοὺς πρῶτον ἑαυτοῖς τἀναντιώτατα συμβεβουλευκέναι τὴν ζωὴν ταύτην ἑλομένοις, ἀλλὰ δήμοις καὶ πλήθεσιν κοινῶς περὶ τῶν πολει-

COL. XXXIII.

τικῶν λεγομένων πρα-γμάτων καὶ διότι τούτων ἑκάτερον οὐχ ὑπὸ τῶν σο-φιστῶν καὶ ἀπὸ τῆς τέχνης ἀλλ' ὑπ' ἄλλων γίνεται καὶ κατὰ δύναμιν ἄλλην. ὑπὲρ > δὲ τῶν κατὰ τοὺς ἐπαίνους καὶ ψόγους νῦν λέγωμεν, ὅτι τοῖς πολειτικοῖς τῶν ῥητόρων παρασπείρε-ται μὲν οὐκ ὀλίγων ἐγκώ-μια καὶ ψόγοι, καθ' ἑαυτὰ δ' οὐ ποιεῖται, μᾶλλον δ' οὐ-δὲ παραπλήσια τοῖς τῶν σοφιστῶν ἐστιν, οὐδὲ πε-ρί τινων γείνεται ἄλλων ἢ νῦν ἀ-νατεινόντων εἰς τὸ κοι-νὸν οὐδ' ὅλως ἀντιποιοῦν-ται μόνοι τοῦ τινὰς ἐπαινεῖν καὶ ψέγειν δύνασ-θαι, τὸ δὲ σοφιστικὸν γέ-νος τοῦτ' ἐπαγγέλλε-ται, πρὸς ὃ καὶ λαλήσομεν ἐπὶ τοὺς ἐκδεδομένους ὑπ' αὐτῶν λόγους ἀναφέ-ροντες. Εἰ μὲν οὖν ὥσ-περ ἔνιοι περὶ ἃ φατίζον-

COL. XXXIV.

ται, μόνοι φασὶ πᾶν ὅλως
πρᾶγμα δύναμιν ἔχειν ἐ-
παινεῖν καὶ ψέγειν, ἄξιον πυ-
θέσθαι, πότερον ταῦτα λέ-
γουσιν, ὅταν μὲν θελήσω-
σιν, ἐγκωμιάζειν, ὅταν
δὲ βουληθῶσι, ψέγειν, ἢ τὰ
μὲν ἐπαινετὰ μόνον
ἐνκωμιάζειν, τὰ δὲ ψε-
κτὰ μόνον ψέγειν; εἰ μὲν
γὰρ τὸ πρότερον, μετὰ τῆς
ἀποπληξίας τοῦ τὰ ψεκτὰ
μὲν ἐνκωμιάζειν, τὰ δ' ἐ-
παινετὰ ψέγειν, οὐδ' ἔστιν
ἔπαινος οὐδὲ ψόγος τῶν
οὐκ ἐχόντων ἅ τις φήσει·
πολλὰ δὲ οὐδ' ὅλως ἔπαι-
νον ἢ ψόγον ἐπιδέχεται
τῶν πραγμάτων· εἰ δὲ
τὸ δεύτερον, οὐ μόνον
τὴν σοφίαν αὐτοῖς ἀπο-
νέμουσι, ἀλλὰ καὶ τὴν εἴ-
δησιν ὧν ἕκαστον ὠφε-
λημάτων καὶ βλαμμάτων παρασκευάζει,
καὶ θεωροῦνται πολλὰ
μὲν τῶν ἐπαινετῶν ψέ-
γοντες, οὐκ ὀλίγα δὲ τῶν

COL. XXXV.

ψεκτῶν ἐπαινοῦντες. εἰ μέντοιγε τῶν θεῶν καὶ τῶν ἡρώιων ἐγκώμια δύνασθαι ποιεῖν ἐπαγγέλλονται, τῶν δ' ἀνθρώπων τοὺς μὲν εὐλογεῖν, τοὺς δὲ δυσφημεῖν καὶ τοὺς αὐτοὺς ὅταν προέλωνται ποιεῖν ἑκάτερον, ἡμεῖς λέγομεν χωρὶς τοῦ καὶ ἀναισθήτων οὐχ οἷον ἀλόγων ζωίων αὐτοὺς ἐνκώμια πεποιηκέναι, διότι θεῶν μὲν οὐδεὶς οὐδ' ἡρώων ἐνκωμίου δεῖται τοῦ παρ' ἀνθρώπων· ἔστιν τὸ πᾶν ἔλαττον αὐτῶν καὶ τὸ κατατευχθὲν, ἀπρεπέστατον δὲ τὸ γεινόμενον ὑπὸ τῶν σοφιστῶν· διὸ καὶ λέγουσιν Ἀριστοτέλην ἢ τινα μέντοι πρὸς Ἀναξιμένην ἢ τινα δή ποτ' εἰπεῖν τῶν σοφιστῶν τῆς εἴτ' Ἀρτέμιδος εἴτ' Ἀθηνᾶς ἐνκώμιον γράψαντα καὶ σεμνυνό-

COL. XXXVI.

μενον, οὐκ οἴει γὰρ, εἰπεῖν, ἐάν ποτ' ἔρις γένηται τῶν θεῶν ὡς πρότερον, ἐρεῖν τὴν Ἀφροδείτην, καλὸν ἄρ' ἐγκώμιόν σου καὶ ὁ δεῖνα ἐποίησεν. τὸ δὲ τῶν ἀλόγων ζώων τὰ μὲν ἐγκωμιάζειν, τὰ δὲ ψέγειν οὐδὲν καὐτῶν τοὺς βίους ὠφελεῖ διὰ τὸ μήτ' αἰσθάνεσθαι τῶν λεγομένων αὐτά, μήτ' ἐπιδέχεσθαι μετάθεσιν ἐκ τῆς οἰκείας φύσεως. ἄνθρωποι δὲ προτρέπονται μὲν ἐπὶ τὸ σπουδαῖον ὑπό τινων ἐπαίνων καὶ τῶν κακῶν ἀφίστανται διά τινας ψόγους. ἀλλ' οἱ ῥητορικοὶ σοφισταὶ Βουσείριδας καὶ Πολυφήμους καὶ τοιούτους ἄλλους ἐγκωμιάζοντες τὰ τῶν ἀγαθῶν ἔπαθλα κοινοποιοῦσι καὶ πολλοὺς εἶναι πονηροὺς προτρέπονται καὶ προκρείνοντες ἐν ταῖς συμβλή-

COL. XXXVII.

σισιν τῆς Πηνελόπης Κλυταιμνήστραν καὶ τὸν Πάριν Ἀλέξανδρον Ἕκτορος ἀφανίζουσι τὰς ἀρετὰς τῶν ἀγαθῶν ὅσον ἐφ' αὐτοῖς, οὐδ' αὐτοὶ μέντοιγε ἀπὸ διαθέσεως αὐξητικῆς μὲν τῶν ἀρετη φορων ἀνδρῶν, μειωτικῆς δὲ τῶν πονηρῶν τοὺς μὲν ἐγκωμιάζειν, τοὺς δὲ ψέγειν ἐπιχειροῦσιν, ἀλλ' ἢ διὰ κέρδος ἢ διὰ φόβον ἢ δυνάμεως ἐπίδειξιν ποιούμενοι, κἂν ἄρα ποτὲ τῶν ἀγαθῶν τινὰς ἐνκωμιάζωσι καὶ τῶν ἀτόπων κατηγορῶσιν, οὐ τῶν κατ' ἀλήθειαν ὄντων, ἀλλὰ τῶν πολλοῖς νομιζομένων καὶ καθόλου τῶν τὰς δημώδεις ἀρετὰς καὶ κακίας ἐχόντων. ἐκ γὰρ αὖ τῶν ὄντων ὡς ἀληθῶς, κἂν τὰς κατὰ φύσιν ἀρετὰς

COL. XXXVIII.

καὶ κακίας ᾔδεσαν καὶ πολὺ πρότερον αὐτοὶ τὰς μὲν ἐκέκτηντο, τῶν δ' ἐκαθάρευον. Οὐ μὴν ἀλλ' ἐπεὶ πρᾶγμα καθ' ἑαυτὸ τοῖς ὅλοις οὐθέν ἐστιν ἐπαινετὸν ἢ ψεκτόν, ἀλλὰ γείνεται τὸ μὲν καθ' ὅσον ὁμολογεῖ τῶι τέλει τῶν ἀγαθῶν, τὸ δὲ καθ' ὅσον τῶ τῶν κακῶν ὁ μὴ ταῦτ' ἐπιεικῶς ἐπιλελογισμένος οὐδὲ κατὰ τὴν ἀναφορὰν τὴν ἐπ' αὐτὰ διορίζειν δυνήσεται τὰ λαμβανόμενα πρὸς τοὺς ἐπαίνους, ὃ δὴ καὶ γινόμενον ἐπὶ τούτων ὁρῶμεν· οὔτε γὰρ ἐπὶ τοῖς ἅπαντ ψέγουσιν, οὔτ' ἐπὶ τοῖς παρ' ἡμᾶς ἐπαινοῦσι, πολλὰ δ' οὐδ' ὅλως ἀγαθοῦ φύσιν ἔχοντα παραλαμβάνουσιν, τινὰ δὲ ·

COL. XXXIX.

καὶ κακοῦ καὶ μεγάλου πολλάκις, ἐνδιατρείβουσίν τε μᾶλλον ἢ συμφέρει τοῖς ἐπαινουμένοις, ἔστιν δ' ὅτε χαύνωσιν ἐργάζονται διὰ τὰς τῶν μετρίων ἐκξογκώσεις καὶ κατὰ πρόςωπον ἐξυμνοῦντες εἰς μεγάλας ἄττουσιν διατροπάς, ἀστοχοῦσιν δὲ καὶ τῶν συνακουόντων προσώπων καὶ τῶν ἰδίων καὶ τῶν περιστάσεων ἐν αἷς διατίθενται τοὺς ἐπαίνους· ἀγνοοῦσιν δὲ καὶ πότε χάριν τῶν ἐπαινουμένων ἐγκωμιαστέον καὶ πότε χάριν ἄλλων καὶ πότε ἡμῶν αὐτῶν καὶ πάνθ' ὅλως ἅπερ ἡμεῖς ἀναγκαίαν ἔχοντα χώραν πρὸς τοὺς ὀνησιφόρους ὕμνους ἐν τῷ περὶ ἐπαίνου λόγωι διαστελ-

COL. XL.

λομεν, ὑπακουέσθω δὲ
>
τὰ τοῖς εἰρημένοις. ἀντίστροφα καὶ ἐπὶ τῶν ψόγων. Ἄλλως δὲ τούτοις παρακολουθεῖ τὸ μηδεσὶν ποτ' ἐγκωμιάζουσι πιστεύεσθαι τἀληθῆ λέγειν διὰ τὸ καὶ ἀπολήρους ἐπαινεῖν, πολλάκις δὲ, καὶ μᾶλλον, καὶ τοὺς αὐτοὺς οὕς ποτε ἔψεξαν, πάλιν ἐπαινεῖν, τοὺς δὲ καὶ ἐπὶ τοῖς αὐτοῖς, οὐ μόνον δὲ τῶν εἰς εὐδαιμονίαν ἢ κακοδαιμονίαν ἀνηκόντων ἀδυνάτους καὶ

—

ἐγκώμια διατίθεσθαι καὶ ψόγους, ἀλλὰ καὶ τῶν τὰ τὰς ἄλλας ἐπιστήμας καὶ δυνάμεις ἐξεχόντων ἢ ἀποτετευγμένων, εἰ μὴ τὸ περὶ ὧν οὐδ' ἔννοιαν ἔχουσιν, θέλειν ἐγκωμιάζειν καὶ ψέγειν, ἑκάτερον προσα-

COL. XLI.

γορεύουσιν. ἀλλὰ μὴν οὐδ' ἐφ' οἷς ἐπαινοῦσι καὶ ψέγουσι ·

. . ποιηταὶ καὶ μάλισθ . . . καθυμνοῦσι, τάχα δ' οὐδὲ τῶν φιλοσόφων ἔνιοι · τί γὰρ πάλιν δεῖ λέγειν ὅτι πᾶσίν ἐστιν ἐξουσία τὸ κατὰ μηδεμίαν αἰτίαν μόνοις ἀποδεδομένον τοῖς ῥητορικοῖς σοφισταῖς. ἐὰν δ' εἰς ἐκεῖνο καταντήσωσιν, ὅτι τὰ τοιαῦτα ἐνκώμια λέγειν καὶ γράφειν οἴδασιν οἷα περιφέρεται, καὶ τοὺς τοιούτους ψόγους οἵους παρειλήφαμεν, εἰ δὲ βούλονται καὶ μόνοις συνχωρήσομεν · ἴσον γάρ ἐστιν τῶι τὰ τῶν ῥητορικῶν ἔργα τῶν ῥητορικῶν εἶναι · περὶ μέντοι τοῦ χρησιμεύειν τι τοῖς ἐνκωμιαζομένοις

COL. XLII.

καὶ ψεγομένοις ἢ τοῖς ἄλλοις ἀνθρώποις διαμφισβητήσομεν, οὐδένα θεωροῦντες ἐπανορθούμενον δι' αὐτῶν, οὐδ' ἐπινοοῦντες ὡς ἂν δύναιντο. Καὶ μὴν ὅν Δημήτριος μετὰ τοῦ σοφιστικοῦ ἤνεγκε τῶν λόγων προστιθεὶς τῶι δημηγορικῶι καὶ δικανικῶι, τὸν ἐντευκτικὸν ἅπασιν, εἰ μὲν λαμβάνει τὸν τοῖς πλήθεσιν ἐντευκτικὸν καὶ τὸν κατὰ πρέσβειαν τοῖς δυνάσταις, ἐχέτω μὲν ἐπὶ τοῦ παρόντος· ὃ γὰρ ἐκ τούτων ἀγαθὸν γείνεται, μετὰ ταῦτα ἀποψόμεθα· διότι δὲ ταὐτοῦ καὶ ταῦτα καὶ τὸ σοφιστικὸν εἶδος ἐποίησεν, λεγέσθω διαμαρτάνειν· εἰ δὲ τὸν περὶ τῆς ἀληθείας λόγον ἴδιον ἡμῶν ὄντα καὶ ποικίλως ἐπιδεικνύμενον τῶν φιλοσόφων ἀφαιρούμενος τοῖς ῥητορικοῖς ἀνατίθησι, τὴν ἐν τοῖς πολειτικοῖς ἑαυ-

COL. XLIII.

τοῦ ποτὲ γεινομένην ἐξουσίαν καὶ ἐπὶ τὰς σκέψεις μετάγει τὰς πίστεων δεομένας ἀποτεθειωρημένων.

Τοιγαροῦν, ὦ Γάϊε, παρὰ πάντων ἃ μέρη φασί τινες καὶ διδάγματα τῆς ῥητορικῆς ὑπάρχειν, ὅτι τὰ μὲν κατέψευσται, τὰ δ' οὐθὲν χρησιμεύει τοῖς μὴ τὰ ῥητορικὰ σοφιστεύουσι, δῆλον ὅτι πομπεύεται παρ' αὐτοῖς τὸ μητέρα τῶν μαθημάτων καὶ τῶν τεχνῶν εἶναι καὶ παρενθήκην καὶ ἀφετήριον τὴν ῥητορικὴν καὶ μᾶλλον ἔτι μετὰ τῆς πειθοῦς λαμβανομένην· τὸ γὰρ ὑπ' ἐνίων λεγόμενον ὅτι καὶ βλάπτει προστεθεῖσ' ἀπάταις, εἰς ἄλλον καιρὸν ἡμεῖς ὑπερβαλλόμεθα. τὸ μέντοι μαρτυρεῖσθαι διὰ τῶν ἀποτελεσμάτων, ὡς οἱ τὴν ῥητορικὴν πέρι διατρείψαντες

COL. XLIV.

ἀμείνους γίνονται τῶν ὁμογενῶν, διαστελλόμεθα φάσκοντες, εἰ μὲν ἐν τοῖς ἰδίοις ἀμείνους γείνεσθαι λέγουσιν, μὴ μόνον ψεύδεσθαι φανερῶς, ἀλλὰ καὶ διανοήσεως ἐκπείπτειν ἀπάσης, εἰ μὴ διανόητον ἄρα τὸν μαθόντα μουσικὸν τὰ ῥητορικὰ μουσικώτερον ἀποτελεῖσθαι, τῆς ῥητορικῆς τὰ μουσικὰ μὴ διδασκούσης· εἰ δὲ τὰ κωλύοντα

τοῖς θεωρήμασιν χρῆσθαι περιαιρεῖν, τὸ τῇ φιλοσοφίαι προςὸν σφετερίζεσθαι μηδέν' εἰς τὸ τοιοῦτο φόρον προςφερομένους· εἰ δὲ πρὸς τὸ κατεργολαβεῖν μᾶλλον ἄλλων, κομψείαν τινὰ περιποιουμένους οὔτε πάντας ἐπιδείξειν τοῦτ' ἐκποριζομένους, ἀλλὰ καὶ τοὐναντίον πολλοὺς ἀποπείπτοντας καὶ προςέτι μειουμένους.,

COL. XLV.

οὔτε μᾶλλον ἢ πλείονας ὑπὸ τῆς ῥητορικῆς ἢ ποιητικῆς καὶ γραμματικῆς καὶ φιλοσοφίας συνεργουμένους. ἃ δὲ Γοργίας εἰςῆκται λέγων ὁ παρὰ Πλάτωνι περὶ τοῦ τὸν ῥητορικὸν ἅπαντος τεχνείτου τεχνικώτερον εἶναι δόξειν, ἐν τοῖς ὕστερον γραφησομένοις λόγοις ἀποθεωρήσομεν.

Φιλοδήμου
περὶ ῥητορικῆς
Δ.

ARGUMENTUM QUARTI LIBRI PHILODEMI

DE ARTE RHETORICA.

In Catalogo Herculanensium voluminum Oxoniensi editioni praemisso libri quos Philodemus de arte rhetorica composuit, hoc ordine enumerantur.

1007. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ. Δ.* pp. 45.
Exstant in Vol. Hercul. Oxon. tom. II. p. 1—45.

1015. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ* pp. 77.

1423. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ. Δ. ΤΩΝ ΕΙΣ ΔΥΟ ΤΟ ΠΡΟΤΕΡΟΝ.* pp. 19.

1426. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚ . . ΑΡΙΘΜ. ΧΧΧΘ.* pp. 17.
Exstant in Vol. Herc. Neap. tom. IV.

1427. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ* pp. 8.

1506. *ΦΙΛΟΔΗΜΟΥ . . ΡΙ ΡΗ . . . ΙΚΗΣ ΥΠΟΜΝΗΜΑΤΙΚΟΝ ΑΡΙΘ. XXXIIII.* . pp. 51.

1669. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ* pp. 35.
Fort. idem liber qui editus est in Vol. Hercul. Neapol. tom. V.

1672. *ΦΙΛΟΔΗΜΟΥ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ Β.* pp. 39.

1673. *ΦΙΛΟΔΗΜ . . . ΟΡ . . . ΚΗΣ . Ν . . . Κ . XXXXIIII.* pp. 71.
Editus liber in Vol. Herc. Oxon. tom. II. p. 46—116.

Hos libros omnes unum de arte rhetorica, vel potius contra rhetoricam, opus integrum efficere, facile intelligas, viam vero et rationem disputandi, cum tituli pauca doceant *), tum denique si Academici Neapolit. omnia papyrorum fragmenta accurate ediderint, invenies. Sic v. c. liber nro. 1426 arte sophistica neminem reipublicae administrandae peritum evadere docet, cuius quaestionis pars esse videtur, quae Col. XII, 20 his verbis transitum facit, *λοιπὸν ἂν εἴη διαλαβεῖν ἐκεῖνο τὸ μέρος, εἰ ὁ ῥήτωρ ἕνεκα ῥητορικῆς ἀγαθὸς ἂν γένοιτο πολιτικός;* Argumentum vero alterius partis quarti libri, (prior enim, *τῶν εἰς δύο τὸ πρότερον*, nro. 1423, nondum edita est) **) hoc est. In primis columnis quae male tractatae integre legi

---

*) Vide quus laudet Petersen ad Phaedri librum p. 8, Winckelmann, Murr de papyrie p. 4 eiusd. Philodem. p. 18.

**) Alterum huius librorum divisionis exemplum in veterum scriptis legere non memini; credes enim duobus constitisse libris opus integrum de arte rhetorice, ut v. c. Aristotelis libri dicuntur *περὶ γενέσεως καὶ φθορᾶς τῶν εἰς δύο τὸ Α—Β* vel *μεταφυσικῶν τῶν εἰς Α τὸ Α* et similia; at hic quartum librum in duas partes divisum legimus.

non possunt, de *elocutione* loquitur eamque sophistica doctrina acquiri negat; finita est λέξις Col. XII, 12, ubi *pronuntiationem*, *ὑπόκρισιν*, aggreditur minime hanc rhetoricae propriam esse confirmans; pronuntiationis finis indicatur Col. XIX, 18 — XXI, 12. In sequentibus Col. XXI, 11 — XXX, 26 plura *de fine rhetorices* disputantur; alii enim eam *τὰ πολιτικὰ* solum tractare, alii vero professi sunt, *ὅτι μόνης ἢ μάλιστα τῆς ῥητορικῆς ἐστιν τὸ τοὺς ἐνδεχομένους εἰς ἕκαστον λόγους ἐξευρίσκειν*, qua in re rhetores male sibi quae philosophorum sint, vindicare autor dicit; quae in aliis quoque libris se expositurum esse promittens, *tria causarum genera* enumerat, Col. XXXI, 16, *ἀλλὰ ταῦτα μὲν ἀξιωθήσεται τινος ἔτι λόγου καὶ κατ' ἄλλα μέρη τῆς διεξόδου, νῦν δὲ κἀκεῖνα διαληπτέον αὐτῶν, ὅτι τῶν προβλημάτων τὰ μέν ἐστι δικανικά, τὰ δὲ συμβουλευτικά, τὰ δὲ περὶ τοὺς ἐπαίνους καὶ ψόγους*, et genus *iudiciale* et *deliberativum* nunc missum facit: Col. XXXII, 4, *περὶ μὲν οὖν τῶν δικανικῶν καὶ συμβουλευτικῶν εἰς ἄλλον καιρὸν ἐπιτηδειότερον ὑπερθήσομαι.* tertium vero, *demonstrativum*, *ἐγκωμιαστικόν*, rhetorum morem valde improbans pluribus exagitat Col. XXX, 6 — XLII, 6, cui *quartum* adhaeret *genus* a Demetrio additum, *ἐντευκτικὸς λόγος*, paucis excussum; sequitur *epilogus ad Gaium* Col. XLIII, 5 — XLV, 11 quo parum qui artem rhetoricam profiterentur, proficere eamque mala a sophistis prae ceteris disciplinis laudari et celebrari demonstratur.

Quod si ex his quae supersunt, de iis quae nondum edita aut deperdita sunt, coniecturam facere licet, etiam priore libri quarti parte elocutionem qua maxime sophistae gaudebant, maiorisque momenti, quam ut paucis nostri libri columnis absolutam esse credas, tractari et quaedam de inventione et dispositione moneri, haud improbile videtur.

In primis columnis quibus de elocutione agit, saepe legimus *εἶπεν, φησὶ, ἔλεγεν, εἴρηκε*, contra quem disputat, ut adversarium tangi

necesse sit; numquam vero ibi nomen invenitur; itaque vide, ne qui Col. XLII, 7 apparat, Demetrius, ipse sit Philodemi adversarius contra quem illa dicta sunt; etiam de musica liber adversus Stoicum Diogenem compositus est.

ADNOTATIO CRITICA.

Oxoniense exemplum fideliter secuti sumus; itaque si in auctoris verbis e. c. iota modo adscriptum, modo neglectum inveneris (etiam in aliis Philodemi libris est quando desideratur aut suprascriptum legitur, ut *ΔΛΟΓΩ*), ex libri fide id factum esse scias; quae vero corrupta sunt, in adnotatione, ut et ii qui Oxoniensi editione careant, felicius periculum faciant, quantum quidem fieri potuit integre descripta reperiuntur; lacunas punctis indicavimus, vacuum spatium ex illo exemplo in nostrum transtulimus.

Initium fecimus a septima columna; quae enim praecedunt, restitui non possunt, adeo sunt mutilae et corruptae; et de prima quidem cuius vix singulae restant litterae, desperandum videtur, de ceteris, si Neapolitani Academici maiorem papyri fidem secuti, quae supersunt, religiose ediderint neque de litteris ambigendum est, non dubitamus, quin et sententias et earum nexum assequi liceat; nunc nobis pauca vocabula agnoscere concessum est

in prima

πιρι . . [πρ]οςαγορευθη . . . του καλῶ; . .

in secunda

. . [προ]οιμίωι μὲν . . . μὴ τραχὺ μηδὲ . . . ἐν λέξει . . . φιλοσοφοι . . [π]αρὰ τοι[ούτο]υς ταῦτα τοις . . . προςδοξαζό[μεν]ος καὶ . . [τ]ῶν ἰδιωμά[τ]ων . . . μυρίωι . . . διὸ καὶ πρότερον μὲν . . εἶπον ὅτι . . . διηκρειβω[μέ]νως . . καλὸν τῆι φύσει . . κατασκεύασμα, νῦν [δὲ] . . θαρρῶν λέγω μ[ετ]ὰ τῆς συμπλοκῆς . .

in tertia

ἀ]κρείβε[ια] ἀξιόλογ[ο]ς οὔτε . . . οὐκ ἀπὸ τῶν σοφιστικῶν παραγγελμάτ[ων] . . οὐδενὶ φυ[σ]ικῶ . . χρῆσθαι . . . οὐδὲ παρὰ τοῖς ἰατρικοῖς . . τοῖς μουσικοῖς καὶ γεωμέτραις οὔ[τε] τοῖ[ς ἄλλοις ἅ]πασι τεχ[νε]ίται[ς] . . θαυμα[στῆ]ς πα[ρακα]τασκευῆς καὶ μάλισθ' ὅταν ὑπὸ τῆς ὀχλικῆς θυέλλης μὴ στρ[έφωντ?]αι καὶ διαφ[ε]ύγειν

in quarta

καὶ λέγομεν . . . ῥητορικῆς θευ[μά]ζω, διότι . . . τ[ήν]γε πρόχ[ειρον ἑρμηνεί]αν δια[φε]ύ[γ]ειν . . . καὶ τοιαύτας ἀμεταβολίας ἐνεῖναι· ὅταν οὖν . . καὶ τῶν ἄρθρων φή[σω]μεν προηγούμενον εἶναι, τοὺς δ' ἐπακολου[θοῦν] τας συνδέσμους δύν[αμιν] διδόναι καθάπερ . . .

in quinta

μάτω[ν] οὔτε χρήσιμον [οὔ]τε βουλητόν. ἀλλὰ δὴ καὶ τὴν παραλλαγὴν ταύτην οὐκ ἐκ τῶν σοφιστικῶν τεχνῶν ὑπεποιήσαντο, τὰς δὲ τέχνας . . . ὑπὲρ . . λαμβάνειν . . . τὰς δίκας . . καὶ πρὸς . . πλὴν μελη[μ]ά[των . . . μη] δένα, μηδὲ . . . πρὶν ἰσχῦσαι τὰς [ῥητορικ]ὰς δια[τρι]βὰς καὶ . . . [πεπ]αιδευμέν[ως δι]αλέγ[εσθαι] τισιν ἢ [ἀ]παι[δεύ]τως . . καὶ νῦν τούτου[ς μά]λιστα τῶν λοιπῶν

ὀρθοεπεῖν καὶ τὸ λέγειν εἰκῇ διαφεύγειν κἂν προπέσωσιν, μάλα καὶ τάχιστα διορθοῦσθαι μόν[ους]

in sexta

χάριν οὐκ ἀποδιδωκέναι τὸν καλούμενον . . . Ἀθήνας . . πρυτάνεσιν . . . ἑκατέραν . . [βε]βλ[ά]φθαι τῶν . . πρὸ αὐτῆς . . οὐ [ῥητ]ορι[κ]ῶ[ν] μ[ό]νων, ἀλ[λ]ὰ καὶ φιλοσό[φω]ν καὶ τῶν [κατ'] ἄλλας [μ]αθήσεις κα[ὶ . . . τεχνογράφου διαπεφευγότων οὐ μόνον τὰς οὕτω προχείρους ἐν ταῖς ἑρμηνείαις ἀτοπίας, ἀλλὰ σχεδὸν καὶ πάσας. καὶ δὴ γὰρ οὐδ' ἐπιτρεψεῖν τινι βοηθεῖν ἑαυτῷ λέγειν τὴν κοινῶς κεκλημένην ῥητορικὴν ἀπολύε[ιν] αὐτῶν

Haec postrema de Epicuro dicta videntur cuius nomen fortasse v. 15 in litteris . . . *ΥΡΟΥ* latet.

COL. VII.

Neque quae praecedit columna, neque quae sequitur, cum hac septima cohaeret, similiter a quinta aliena est sexta, id quod praeter sententiarum nexum prima et ultima verba docent; quinta enim finitur litteris *MON* i. e. *μόν[ους]*; incipit vero sexta vocabulo *χάριν*, atque haec finita est pronomine *αὐτῶν*, incipit vero septima: *Μ . ΤΟΝ*, similiter haec finitur particula *καί*, octava incipit *ΤΑΙ* quod vocabuli est fragmentum; reliquae vero omnes columnae rite conveniunt. In his igitur interiectae aut interierunt, aut adglutinatae seiungi nequiverunt. Conf. praef. Vol. Herc. Neap. Tom. V. p. 1.

v. 2—3. *CΥΝΑΠΕC . . . ‖ΘΑΙ . ΠCIΝ συναπισ[τά]θαι [φ]ησίν* apex litterae *T* et *A* paululum e lacuna eminet; versus noti sunt ex Iliad. IX, 442

τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων.

aoctor monuisse videtur Achilli datum esse Phoenicem a quo ille non modo eloquendi, sed etiam agendi acciparet praecepta.

v. 4. *ΦΤCЄ . ΚΑΙ* *φύσε[ι] καὶ περὶ λόγον ἀρετὴν*, at hoo graecum non est; corrigo *τὴν φυσικὴν περὶ λόγον* naturalem dicendi facultatem.

v. 5—6. *ΑΝ . . . ‖ ΑΙΙΟΙ . ΥΘΗCЄC ΑΙ ΡΗΤΟΡΙΚ . .* *ἂν [προς] αγο[ρε]υθήσεσ[θ]αι ῥητορικ[ὴν]* vix aliud verbum est quamvis in Philodemo *ἂν* futuro additum legere non meminerim.

v. 7—8. *ΤΔЄΤΙC ΒΟΥΛЄ. V Ι. ΙΙ ΙΙ ‖ ΙΙ⁻ Ο. ΘΥCΘΑΙ ΔΙ ΗΔΙΙΝΓ'ΑΙ.* *[ε]ὶ δέ τις βούλε[τ]αι καὶ π[ρος] ηγο[ρ]εῦσθαι· δι[αρρ]ήδην γάρ.* Superior literae *Τ* linea est ad maiorem santentiae distinetionem indieandam, ut nihil sit nisi partieula *εἰ*; illud *γάρ* non intelligo, sensus esse videtur: si quis vero putat, naturalem dieendi facultatem eloquentiam ab eo dictam esse, ipse disertim monet ad illam conquirendam nihil magis conferre quam *μελήματα* et *ῥητορικαὶ διατριβαί.*

v. 9—10. *ΙΙΡΟΤΙ Ν ΡΗΤΟΡΙ . .* *πρὸ τ[ῶ]ν ῥητορι[κῶν]*; tum *ЄΙΙΙ ΑΛЄΦΟΛΙΤ* (ΜΗ above) . ‖ in quo quid lateat, non video, fort. *μὴ εἶναι . .*

v. 12. *. ΩΝ* *τού[τ]ων*, tum *ΟΥ.* *οὔ[ν]*.

v. 13. *ΑΛΛΑΙΙ . ΟΙΙΙCΧΥ ‖ ЄΝ* *ἀλλ' ἁπ[λ]ῶς ἰσχύε[ι]ν.*

v. 14—15. *ΔΙΑΤ . . ‖ ΒΑ . . ΑΕ ΜΓ . > Є ΠЄΡΙΚΑЄ.* διατ[ρι]-βα[ς· ἔτι] δὲ μηδὲ Περικλε[α] id varius puto quam [κ]αὶ μηδὲ, sed offendit et v. 15 et 17 μηδὲ pro μήτε.

v. 16. . . . . *CΤЄΦΑΝΟΥ* at Στέφανος filius est, non pater Thucydidis, vid. Plat. Meno p. 94 d, Aeschines I, 8. Num memoriae errore Στεφάνου dixit Philodemus quem Μελησίου appellare debebat? nam cohaerent haec cum Pericle, sive ἢ τὸν Στεφάνου sive καὶ τὸν Στεφάνου fuit; quominus μηδὲ vel μήτε τὸν scribas, spatium impedit. Quomodo enim h. l. Thucydidem Stephani patrem vocet, non intelligo.

v. 18. *ΠΡ. ΧЄΙΡΟΝ* πρ[ό]χειρον vid. Col. IV, 19. VIII, 12.

v. 19. *¯ЄCΑΙ* ἐκπεφευ ‖ γέναι, tum *ЄΡ ‖ ΜΗΝЄΙΑC* ἑρμηνείας.

v. 21—22. *Є ‖ Τ . . ΟΥΤΩΝ* ἐπ[ὶ τ]ούτων facile quis dixerit horum aetate initium quidem fecisse rhetoricam exercitationem, at nondum valuisse.

v. 25. *ΛΗΟΛΝΑΙCΧΥΝΤΩΝ* λέγοι ἀναισχυντῶν vix aliud latet in illo monstro.

COL. VIII.

v. 1. *ΤΑΙ* vid. ad VII, 1 intelligit sophistas eorumque discipulos, fort. vocabuli μαθη]ταί fragmentum; *ΟΥ . . . ΚΑΙ*, οὐ-[δὲν] καί, cum plura ad sententiam absolvendam desint, obscura sunt verba ἀπάσῃ τῶν πρὸ τοῦ παρελθεῖν αὐτά.

v. 2. *Τ . Γ* τ[ῶ]ν.

v. 5. *Κ . ΤΙC‖* κ[α]τισχῦσαι.

v. 7. *O . ΩNTAI* ὀ[ρ]ῶνται.

v. 8—9. *AΓHEY ‖ . ITEC EN AEΞEY* ἀγνεύ[ον]τες ἐν λέξει.

v. 10. in margine huius versus cui nulla inest lacuna, extra papyri spatium, apparet *TΩN*, ut incertus haereas; intelligitur, ni fallor, v. 9.

v. 12—13. *O‖KNυ . EIΠEIN* ὀκν[ῶ γὰρ] εἰπεῖν quod praestare videtur emendationi ὀκνο[ῦμεν] εἰπεῖν.

v. 16. *YΠEΔ IΞEN* ὑπέδ[ε]ιξεν.

v. 17. *MACΩN* μαζῶν.

v. 21. *AΛΛA . AI* ἀλλὰ [κ]αί.

v. 22. *MENONOYN* λεγό|μενον νοῦν.

v. 26. *TAPA* παρά.

COL. IX.

v. 1. *MH¦KEN* μηκέτι, cum certa sit litera *K* et frequens *N* pro *TI, ΓI*, id maluimus quam μηδέν.

v. 3. *MO ‖ NATAΞAEΘAI* μόνα[ι] τάξασθαι, ex solis his διατριβαῖς disceptant τὸ πεπ. διαλ. ἢ ἀπαιδεύτως, postremum vocabulum scriptum *AΠAIΔEYTΩC*. Ex his verbis supplevimus quae Col. V, 20 lacera leguntur

AI‾. . . . AI
ΔEYMEN AΛCT. . .V
TICIN H ΠAI TΩC

κ]αὶ [τὸ πεπ]αιδευμέν[ως δι]αλέγ[εσθα]ι τισὶν ἢ [ἀ]παι[δεύ]τως.

v. 6. *ΤΕΤΟΛΜΗΚΟ Ι* τετόλμηκεν, potius quam τετολμήκει.

v. 7. *ΠΑϹΑϹ* πάσας.

v. 11. *ΔΕ . δε[ί]*.

v. 12. *ϹΙΠ : ΙΝ* εἰπ[ε]ῖν, tum *ΙΔΙΑ—* ἰδία[ς].

v. 13. *ΜΑΘΗ . ΕΙϹ* μαθή[σ]εις, tum *ΠΕΠΑΙΔΕΥΜΕ ‖ Ν . .* πεπαιδευμέν[ως].

v. 16. *ΔΙΑ ‖ ΤΡΙΒΑΙϹ ΟΥΚ* διατριβαῖς οὐκ, tum *ΠΑΙ ‖ ΔΕΙΑϹ* παιδείας.

v. 20. *.ΛΟ ‖ ΧΡΥϹΟϹ* [ὁ]λόχρυσος, ironice dictum, nisi aliud latet.

v. 22. *ΤΟΙΟΥΤΟϹϹ . . Ε* τοιοῦτος ὥ[στ]ε, id lacunae spatium magis suadet quam ο[ἷο]ς.

v. 25—26. *ΘΙΑ ‖ ΦΕΥΓΕΙΝ* διαφεύγειν. tum *ΠΡΟΠΕϹϹ. ‖ ϹΙΝ* προπίσωσιν unde correximus finem Col. V.
ΚΑΛΙ ΠΡΟ ΠΕΟ ΜΑΛΑΚΑΙϹΙΝ
κἂν προπίσωσιν, μάλα καὶ ubi librarius προπίσω scripsit, ultima verbi syllaba margini addita.

COL. X.

v. 2. *ϹΥΝΟΙΘΙϹΜΕΝΟΥϹ* συνειθισμένους.

v. 5. *ΠΕΤΥϹ ‖ ΜΕΝΟΥϹ ΩϹ Ε* πεπυσμένους ὥσ[τ]ε.

v. 7. *ΗΝΘΗΚΥΤΑϹ ΤΟΤϹ* ἠνθηκυίας τότε.

v. 8. *ΚΑΙ Ν. Ο ‖ ΗΤΑΙϹ* καὶ μ[α]θηταῖς, melius non inveni; non enim est σοφισταῖς.

v. 9—11. *ΑΠΛΩ . ‖ ΤΑϹΘΑΙ* ἁπλῶ[ς κ]τᾶσθαι, tum *ϹΟΦΙϹΤϹ*.

. . . ‖ *ΟΕΠΕΙΑ ΤΟΔΙΚΗ ΛΕΓΕΙ.* σοφιστῶ[ν ὀρθ]οέπεια[ν], τὸ δ' [ε]ικῆ λέγει[ν].

v. 13. ‖ *ΕΙΝ* περιφο[ρ]εῖν, tum *ΜΟΛΟΥ.* μόνου[ς].

v. 14. *ΠΟΥC ΔΙΑΤΡΙ. ΚΟΥΣ ΩΝΕ.* ‖ τοὺς διατρι[βι]κοὺς ὧν ε[ἰ]καιολογωτέρους.

v. 16. *Κ . Ι* κ[α]ί.

v. 17. *ΠΡΟ. ΕΙ ‖ ΠΤΟΝΤΩ .* προ[π]ειπτόντω[ν].

v. 19. *ΟΛΙ ‖ ΠΙC* ὀλίγοις. *ΠΑΙ ΤΟΥΡΟΥC* καὶ τούτους.

v. 20. *ΠΑΛΙCΤΟΙC* πρακτοῖς.

v. 22. *Μ . ‖ΝΟΥΣ* μ[ό]νους.

v. 23. *ΑΠΟΙΕΙΝ* ἃ ποιεῖν, nisi fortasse verbum quod ἀνευρεῖν vel simile significet, lateat, a me frustra quaesitum. *ΕΦΗCΕΝΝ ‖ ΙΘΙCΘΑΙ* ἔφησεν εἰθίσθαι nescio quid sit postrema littera *Ν*, nisi est *Ε*, v. 2 legitur συνειθισμένους, nolim tamen hic ἔφη συνειθίσθαι reponere; saepius enim noster dicit ἔφησεν.

v. 24. *ΩΝ . ‖ ΜΕΙC* ὧν [ἡ]μεῖς, quae vero illa sint, in his quae supersunt, non apparent.

v. 25. *ΟΥΔΕΝΟC ‖ CΔΕΠΟΤΕ ΠΕCΚΕΜΑ ‖* οὐδενὸς [ο] ‖ ὐδέποτ' ἐπεσκεμμ[έ] ‖ νους.

COL. XI.

v. 1. *ΦΙΛΟΣΟΦΟΥ.* φιλοσόφου[ς].

v. 3. *ΑCΦΑΛΕ ΤΑΤΟΥΣ* ἀσφαλε[σ]τάτους.

v. 5. *ΑΜΕΛΕΙ ΚΑΙ* ἀμελεῖ[ν] καί.

v. 7. *ΠΥΝΘΑ . . ῀ΘΑΙ* πυνθά[νεσ]θαι.

v. 8. *Π . ΡΙΤΩ . . . ЄΙΤΙ . ΩΝ* π[ε]ρὶ τῶ[ν πολ]ειτι[κ]ῶν.

v. 9. *Τ ΥΤ.* ut incertus haereas, utrum sit τοῦτο an ταῦτα.

v. 10. *ΥΠΛΗΟΥ . ΜЄΙΝ* ὑπ[ο]λαμ[βά]νειν vix aliud in his corruptis monstris latere sensus docet.

v. 11—13. *ЄΠΙΤΟ ЄΠЄ. ΤΑ ‖ ΘΥΠΟΔ . ΙΓΜΑΤΑ ЄΙΤΗ ‖ ΛЄΞЄΙ . ΑΧЄΙCΙΑC ΠΑΟΜΗΘЄΙC* ἐπιτρέπε[ι] τά θ' ὑποδ[ε]ίγματα [καὶ τὰς] ἐν τῇ λέξει [κ]αχεξίας παρατιθείς. καχεξίας multitudinis numero, non singulari positum esse, ut scribas καὶ τῆς, praecedens τε et ni fallor etiam sequens αὐτῶν docet; item verbum latere in istis επιτοεπε, nominativus verborum παρατιθείς et προςαγορεύων ostendit, unde ἐπιτρέπει emendavi quamvis duae litterae, non una in lacuna subesse videantur; medium vero usus non admittit.

v. 14. *ΠΡΟ . ΑΔΟΡЄΥΩΝ* προ[ς]αγορεύων.

v. 15. *ΡΗCCΡΑC* ῥήτορας.

v. 17. *ΚΑΤΟΡC . ΥΝ* κατορθ[ο]ῦν.

v. 18. *ЄΛЄΠ . ΤΙ ΠΡΟCΤΟ.* ἔλεγε[ν] ἢ πρὸς τό[ν].

v. 19. *Є . ЄΤЄΝΟΥΤ . . ЄΛЄΙΧΟΝ* ἔ[λ]εγεν, οὐ τ[ὸν] ἔλεγχον.

v. 20. *ΠΟΙΟΥΜЄΝ ΦΗ* ποιοῦμεν· [εἰ δ' ἔ]φη notandum activum ποιοῦμεν.

v. 21. *ΗΠΡΟC* ἢ πρὸς neutrum vocabulum sententiae convenit; videntur hae litterae male repetitae esse ex v. 18 vel 20.

v. 22. *ΗЄΠΑΙΔЄΥΜЄ ‖ . ΟΥC* πεπαιδευμέ[ν]ους.

v. 24—26. corruptissime sunt descripta quae vocabulum τεχνείτας sequuntur; in margine fragmentum additum quod parum

lacunae spatio convenit; litteras ad amussim reddamus, aptum verborum sensum alii eliciant:

ΤΛΘΛΟ . ΩC ΟΙΤΛ ΤΛΙ ΛΚΛΙ
ΙΙΛЄΙΙΠΛ . ΙΙΟΥΤ . . ΙΠΟCΟΙΔΙ
ΟΙ · ΦΥ . ΛCΤЄC . Λ . .

sub finem tertii versus octo fere desunt litterae; utinam ne Neapolitani quae in papyro legantur, more suo accurate tradere morentur! primum vocabulum ἀθρόως fuisse videtur, v. 15 πλεῖστα, postremum τέχνας.

COL. XII.

v. 1. *ΝΟΥC . . ΙC* dubitare licet an Philodemus versibus corruptis praecedentis paginae adversarium iam satis confutaverit; si minus, integram columnam intercidisse apparet. Tum *ΤΟΝ . V* ‖ τὸν ἀρ‖χιτέκτονα.

v. 3. *ЄΙCΗΙΛΓЄΝ* εἰςήγαγεν.

v. 4. *ΔЄ . . ΙC* δὲ[το]ῖς.

v. 5. *Ο . . ЄΤΛCΔΙΛΤΡΙΒ . . ΙΙΩΝ* ο[ἴγ]ε τὰς διατριβ[ὰς] τῶν nisi potius est ο[ὐδ]έ.

v. 6. *ΡΙΙΤΟΡΙΚΩΙ . ΙCΧΥΡΟΙΙΟ Ν‖ΤЄC* ῥητορικῶν ἰσχυροπο[ιήσα]ντες, quod spatio magis quam ἰσχυροπο[ιοῦ]ντες convenit.

v. 7. *ЄΝ ΓЄ ΤΩΝ ΔΙΛΤΡΙΒ Ν‖* ἔκ γε τῶν διατριβ[ῶ]ν nescio quid sit illa lacuna; exspectamus ἐκ τούτων τῶν διατριβῶν vel simile.

v. 8—12. *ΟΥΤ Ν ΑΝ ΟΥΤ Ϲ ΙЄ* ‖
ΘΙϹΘΗϹΑ ϹΡΙΠΑΝΤΟϹΙ
ϹΚЄΦΘΑΙ ΑΙΔΙΑΤΟΥ ΜΗ
ΗЄΙΠΤЄΙ Η ΔΙΟ ΘΑΙΤΟ
ΧΙϹΤΑ ΟΥ.ΥΙ ΤΟΙΓΑ

satis feliciter in his praeter primum et ultimum verbum supplendi ratio successit: οὔτ' [ἐ]ν[όησ]αν, οὔτ[ε] σ[υν]ε[ι]θίσθησα[ν π]ερὶ παντὸς ἐ[πι]σκέφθαι [κ]αὶ διὰ τοῦ[το] μὴ [προ]πείπτει[ν] ἢ διο[ρθοῦσ]θαι τάχιστα τοί γά[ρ] displicet ἐνόησαν quod absolute positum vix invenitur; postremum vero sententiae vocabulum (sex desunt litterae) quale fuerit, non invenio; autor dicere videtur eos facillime errata, falsa corrigere.

v. 13. *ΟΥΝ ΟΗΤΟϹ . . ϹΞ Η ΤΟΜЄ* ‖ corruptissime haec et sequentia descripta sunt; hoc tamen certum, transitum hic fieri ab elocutione ad pronuntiationem, et alios quod parum illa sufficiat, hanc adsciscere eaque maxime auditorum animos commovere censere.

v. 14. *ΤΙΝЄϹ ЄΝΤ . ΤЄΧΝΗϹ* τινὲς [μ]ὲν τ[ῆς] τέχνης.

v. 15. *ΑΘΗΝΑΙΟ ΟΥ ΛΟΓΟΥ* at quis Ἀθηναίοις locus esse potest?

v. 16. *ΥΠΟΚΡΙϹ Η ΜЄΝ* ὑποκρίσ[εως] si τῆς verum est idque spatium suadet; at unde genitivus dependet? an fuit Ἀθηναῖο[ι τὰ τ]οῦ λόγου τῆς ὑποκρίσ[εως ὅ]τι nam offendit sequens ταῦτα, si nude posita erat ὑπόκρισις? particulam [ὅ]τι μὲν sensus flagitat.

v. 17. *ΤΙϹ . . ΩΝ* τις [ἔχ]ων, lacuna trium fere literarum capax, sed nil latet quam ἔχων. tum *ΚΑΙ . ЄΜΝΟ* ‖ καὶ [σ]εμνότερος.

v. 18. *ΛΙΤΟC* αὐτός.

v. 19—20. *ΠΡΟCЄΝЄΙΝΑ . ΛΟΝ ΠΟΙЄ* ‖
ΤΟΝΑΚΟΥΟΙ ΛΚΑΙ CΥΝΟЄ

προσέχειν [μᾶλ]λον ποιε[ῖ] τὸν ἀκούον[τ]α καὶ συνιέν[αι]. in margine ad v. 19 hoc fragmentum litterarum apparet:



certum est cohaerere et coniungenda esse *ΛΛΛΙΟΝ* = μᾶλλον, et *ΛΚΟΥΟΙ . ΤΑ* = ἀκούοντα. at quid sibi volunt litterae his superiores *I* et *ΥΚ*, cum v. 17—18 nullum lacunae sit vestigium; ex his et similibus quam misere sit descriptum exemplum, facile est augurandum. προσέχειν et συνιέναι corrigendum fuisse artis praecepta docuerunt.

v. 21. *ΜΝΗΜΟΝЄΥΗΝ* μνημονεύειν.

v. 22. *ΠΑΘΗΤΙΚΩC* παθητικῶς.

v. 22. *ΑΛΛΩΝ ΟΙΩC* ἄλλων [οὐχ ὁμ]οίως, sed offendit ἄλλων, sive de hominibus, sive de rebus dictum.

v. 24. *. ΜΟ . ΟΓΟΥ* ‖ *ΜЄΝ ΑΛΛΟΙ Μ . . . Ι . Η* ‖ [ὁ]μο-[λ]ογουμέν[ως]· ἄλλοι . . . . . ῥη ‖ τορικῇ articulum τῇ grammatica flagitat, sensus vero et spatium vix aliud quam ἄλλοι δ' ο[ὐ τῇ] ῥητορικῇ admittunt.

COL. XIII.

v. 1. *TOPIKHT . ΗΤΟΠΡ ΗΤΑΓ ‖ ΚΕΙΝ* in hoc ultimo verbum διδάσκειν vel ἀσκεῖν agnosco: sensus ni fallor, hic est, ἄλλοι δὲ λέγουσιν οὐ τῇ ῥητορικῇ τοῦτο προςήκειν μᾶλλον ἀσκεῖν ἢ τῇ διαλεκτικῇ καὶ τῇ γραμματικῇ, μαθεῖν ἄν τις ἐπιθυμῇ λέγειν.

v. 2. *ΤΕΙ Δ . ΑΛΕΚΤΙ* ‖ τῇ δ[ι]αλεκτικῇς tum v. 3 *Μ.* ‖ *ΘΕΙΝ* μ[α]θεῖν.

v. 4. *ΕΙΤΙΟΥΜ ΙΕΛ·* ‖ ἐπιθυμ[ῇ λέ]γε[ι]ν.

v. 5—8. *ΚΑΙ ΔΗ CΑΡ Η ΜΕΝ ΥΛΛΟ.ΗCΗ .*‖
. ΔΝΑΙ ΤΩC. ΚΩCΕΤ . . ΕΛ
. ΕC ΚΑ ΤΡΙ Τ ΟΙΕΝ ΡΙ . . . Η
ΜΗ ΚΑΙ ΝΗΔ CΜΕΝ ΚΑΙ

hanc praecendentium confirmationem prorsus non intelligimus, an est καὶ δὴ γὰρ ἡ μὲν ὑπόκρισις? postrema novam incipiunt sententiam καὶ νὴ Δ[ί], ε[ἰ] μὲν καί.

